# ΕΥΧΗ
## ΔΙΑ ΤΗΝ ΔΙΑΤΗΡΗΣΙΝ ΚΑΙ ΠΡΟΣΤΑΣΙΑΝ ΤΩΝ ΔΑΣΩΝ

*Ποίημα Μητροπολίτου Ἐδέσσης, Πέλλης καὶ Ἀλμωπίας κ. Ἰωὴλ*

Κύριε Ιησοῦ Χριστέ, Σὺ εἶ ὁ δημιουργὸς τῆς κτίσεως πάσης. Εν σοὶ Κύριε, «ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ»[1], καθὼς ἔγραψεν ὁ ψαλμωδός Σου. Σὺ εἶ ὑετὸς εὐλογίας[2]· Σὺ ἐξανέτειλας ἐπὶ τὸν Παράδεισον, «πᾶν ξύλον ὡραῖον εἰς ὅρασιν καὶ καλὸν εἰς βρῶσιν»[3]. Σὺ Κύριε κατέφευγες εἰς τὰ ὄρη καὶ τοὺς δρυμοὺς καὶ κήπους, διανυκτερεύων ἐν τῇ προσευχῇ[4]. Πάντα ταῦτα κατὰ νοῦν ἔχοντες, ὁλοκαρδίως εὐχαριστοῦμέν Σοι τῷ δημιουργῷ τῶν ἁπάντων. Ἔτι δὲ ἱκετεύομέν Σε διὰ τὴν καταστροφὴν τῶν δασῶν, εἰς τὴν πατρίδα ἡμῶν καὶ εἰς ἅπαντα τὸν κόσμον. Σὺ διὰ παιδαγωγίαν ἐπέτρεψας τὴν κατάκαυσιν, τῶν δασῶν καὶ κήπων καὶ οἰκιῶν καὶ φωλεῶν, ὀρνέων καὶ ζώων καὶ πτηνῶν, ἀγρῶν καὶ δένδρων. Ὅθεν προαγόμεθα ταπεινῶς καὶ ἐκλιπαροῦμεν· ἔπιδε ὡς φιλάνθρωπος εὐμενῶς ἐπὶ τοὺς πληγέντας δούλους Σου, καὶ δὸς αὐτοῖς χαρὰν διάδοχον τῆς λύπης αὐτῶν. Προστάτευσον τὰ δάση τῆς πατρίδος ἡμῶν ἐκ τῶν φυσικῶν αἰτίων, ἐκ τῆς δολιότητος καὶ κακουργίας πονηρῶν καὶ ἰδιοτελῶν ἀνθρώπων, πυρομανῶν καὶ ἀνισορρόπων.

Σὺ γὰρ εἶ τὸ δένδρον τῆς ζωῆς καὶ Σοὶ τὴν δόξαν ἀναπέμπομεν, σὺν τῷ ἀνάρχῳ Σου Πατρί, καὶ τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ Σου Πνεύματι, εἰς αἰῶνας αἰώνων. Ἀμήν.

---

1. *Ψ.* 95, 12.
2. *Ἰεζ.* 34, 26.
3. *Γέν.* 2, 8.
4. *Ματθ.* 14, 23.